θωμεν", δῆλον ὅτι ἀπὸ δοτικῆς γέγονεν. εἰ δὲ τοῦτο ἀπὸ δοτικῆς γέγονε, δῆλον ὅτι καὶ τὰ ἄλλα τὰ ἔχοντα τὸ ι ἀπὸ δοτικῆς γεγόνασιν. οὕτως ὁ Χοιροβοσκὸς εἰς τὸ ποσότητος. Et. Mg. 416, 15 τὰ εἰς η λήγοντα ἐπιῤῥήματα ἔχει τὸ ι προσγεγραμμένον, οἷον ἄλλῃ, τριπλῇ κομιδῇ. σεσημείωται πέντε, νή, μή, δή, ἤδη, δηλαδή, dasselbe Cram. Epim. 185, 15; vgl. Ioannes Alexandr. 29, 13. Theognost Canon. (Cram. An. Ox. II) 155, 21 πῇ τὸ ἐρωτηματικόν, καὶ αὐτὸ περισπώμενον, καὶ σὺν τῷ ι. Schol. zu Tzetzes Chil. XII, 516 τῇδε, ἐνταῦθα. τῇ, ἐνταῦθα, ἐπέκτασις τὸ δέ. προσγράφεται δὲ τὸ ι, ὅτι τὰ εἰς η καθαρὰ (?) ἐπιῤῥήματα προσγεγραμμένον ἔχει τὸ ι, πάντῃ, ἄλλῃ, πενταχῇ, τῇ καὶ τὰ ὅμοια. Theognost Can. 160, 28 τὰ εἰς χη λήγοντα ἐπιῤῥήματα διὰ τοῦ η γράφεται, προσκειμένου τοῦ ι, καὶ περισπᾶται, οἷον διχῇ, τριχῇ, τετραχῇ, ἀλλαχῇ, μοναχῇ, ἡσυχῇ. Schol. *M* 430 πάντῃ δή, so schrieb Aristarch; Τυραννίων δὲ ἐκδέχεται τὸ ᾗ ἐπίῤῥημα τοπικὸν καὶ προστίθησι τὸ ι. Zon. Lex. 1487 οὐδαμῇ: ἀντὶ τοῦ οὐδαμῶς, ἔχει δὲ τὸ ι ὡς ἀπὸ δοτικῆς. Eustath. 1251, 24 ἰστέον δὲ ὅτι τὸ ἄλλῃ φεύγω, τουτέστιν ἀλλαχοῦ, ἐπιῤῥηματικὸν καὶ νῦν ὄν, προσγεγραμμένον ἔχει τὸ ι, ὡς ἀπὸ δοτικῆς γεγονός, καθὰ καὶ τὸ ταύτῃ ἀντὶ τοῦ οὕτως καὶ τὸ ἑτέρηφι παρ' Ἡσιόδῳ (Op. 216) ἀντὶ τοῦ ἑτέρως.

ἁμαρτῇ. Herodian zu *E* 656 τὸ ἁμαρτῇ δασέως. περισπᾷ δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλείους. ὀξύνει δὲ ὁ Ἀρίσταρχος βουλόμενος αὐτὸ τοῦ ἁμαρτήδην ἀποκεκόφθαι, διὸ καὶ κατ' αὐτὸν χωρὶς τοῦ ι γεγράψεται. ἐπικρατεῖ μέντοι τὸ περισπώμενον παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ, ausführlicher Eustathios zu dieser Stelle. Herod. zu *Φ* 162 ἁμαρτῇ: περισπαστέον καὶ σὺν τῷ ι γραπτέον κατὰ τὸν χαρακτῆρα τῶν εἰς τη ληγόντων ἐπιῤῥημάτων. καὶ διελέγχει ἡ παράδοσις τὸν Ἀρίσταρχον ἔχουσα τὸ ι. Cram. A. P. III, 292, 7 ἁμαρτῇ περισπᾶται καὶ σὺν τῷ ι γράφεται. ἔστι γὰρ παρὰ τὸ ἁμαρτῶ. ὁ δὲ Ἀρίσταρχος δίχα (Cod. διὰ) τοῦ ι, ἀπὸ τοῦ ἁμαρτήδην λέγων ἀποκεκόφθαι τὴν λέξιν, κακῶς. Et. Mg. 78, 20 ἁμαρτῇ, ἐπίῤῥημα. σημαίνει τὸ ὁμοῦ καὶ κατὰ τὸ αὐτό. καὶ ὁ μὲν Ἀρίσταρχος ἐκ τοῦ ἁμαρτήδην λέγει κατὰ συγκοπὴν καὶ ὀξύνει (Cod. ὀξύνεται). ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ ... δεῖ γινώσκειν ὅτι σὺν τῷ ι γράφεται. Et. Gud. 42, 7 ἁμαρτῇ: ἐπίῤῥημα [σημαῖνον]

τὸ ὁμοῦ. *Καί φησιν Ἀρίσταρχος ἐκ τοῦ ἁμαρτήδην κατ' ἀποκοπὴν ἁμαρτὴ καὶ ὀξύνεται* (sic). *ἀντίκειται δὲ αὐτῷ ἡ παράδοσις μετὰ τοῦ ἰῶτα οὖσα. ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ, ἁμαρτῶ, καὶ ἁμαρτῇ.* Zon. Lex. 164 *ἁμαρτῇ: ὁμοῦ καὶ κατὰ τὸ αὐτό. καὶ ὁ μὲν Ἀρίσταρχος χωρὶς τοῦ ῑ λέγει γράφεσθαι αὐτό, ὅτι ἀπὸ τοῦ ἁμαρτήδην κατὰ ἀποκοπήν. ᾧτινι οὐ συνᾴδουσι τὰ τῆς παραδόσεως. ἡ γὰρ παράδοσις σὺν τῷ ῑ οἶδε γράφεσθαι* (Cod. *γράφειν*) *αὐτό. Ἡρωδιανὸς δέ φησι σύνθετον εἶναι ἀπὸ τοῦ ἅμα καὶ τὸ ἀρτῶ, καὶ γίνεται ἀπὸ ἀμφοτέρων ἐπίῤῥημα, ἁμαρτῇ καὶ ὁμαρτῇ. ἰστέον δὲ ὅτι τὰ ἀπὸ δοτικῆς γινόμενα ἔχουσι τὸ ῑ, οἷον ταύτῃ ἐπίῤῥημα.* Cram. A. P. IV, 8, 35 *ἁμαρτῇ, σημαίνει τὸ ὁμοῖ καὶ κατὰ τὸ αὐτὸ ὅπῃ* (sic) *καὶ πῇ. δεῖ γινώσκειν ὅτι σὺν τῷ ῑ γράφεται.* Bei Homer kommt das Wort viermal vor *Ε* 656; *Σ* 571; *Φ* 162; *χ* 81, daneben die Variante *ὁμαρτῇ*: der Venetus hat überall *ἁμαρτῇ* mit Iota, nur *Σ* 571 am Rand *ὁμαρτη*[74]).

*ἦχι* oder *ἥχι*: Schol. A zu *Α* 607 *Ἀρίσταρχος τὸ ἧχι χωρὶς τοῦ ῑ γράφει καὶ Διονύσιος. παρατίθεται δὲ ὁ Διονύσιος τοὺς Δωριεῖς λέγοντας ἇχι.* Schol. B *τὸ ἧχι χωρὶς τοῦ ῑ κελεύει γράφεσθαι Διονύσιος.* Cram. A. P. III, 6, 29 *Ἀρίσταρχος καὶ Διονύσιος δίχα τοῦ ῑ.* Schol. A zu *Α* 76 *Ἀρίσταρχος χωρὶς τοῦ ῑ τὸ ἧχι.* Schol. *γ* 87 *Ἀρίσταρχος δὲ τὸ ἧχι ἄνευ τοῦ ῑ φησὶ καθάπερ καὶ τὸ ἧφι βίηφι.*

Anders Et. Mg. 416, 12. Gud. 252, 24. Cram. Epim. 185, 13 *ἧχι ἐπίῤῥημα τοπικὸν καὶ δασύνεται καὶ περισπᾶται. ἔστιν ᾗ ἐπίῤῥημα καὶ κατ' ἐπέκτασιν τῆς χῑ ἧχι. ἔχει δὲ καὶ τὸ ῑ προσγεγραμμένον. τὰ εἰς η̄ λήγοντα ἐπιῤῥήματα ἔχουσι τὸ ῑ προσγεγραμμένον* u. s. w. wie oben. Et. Mg. 417, 1 *ἰστέον ὅτι τὸ ἧχι, τὸ γινόμενον ἐπεκτάσει τῆς χῑ συλλαβῆς, ὡς τὸ ναί, ναίχι, οἱ Δωριεῖς ἇχι λέγουσι διὰ τοῦ ᾱ „ἇχι Λίχα μέγα σᾶμα“, τουτέστιν ὅπου τοῦ Λίχα τὸ μέγα μνημεῖον, καὶ „ἇχι ὁ κλεινὸς Ἀμφιτρυωνίδης“. πολλῶν δὲ λεγόντων σὺν τῷ ῑ γράφεσθαι καὶ πολλῶν ἀντιλεγόντων χωρὶς τοῦ ῑ, τῆς μέντοι παραδόσεως ἐχούσης τὸ ῑ, δίκαιον ἡγοῦμαι, πάντας παρακρουσάμενος τῇ παραδόσει μόνῃ ἕπεσθαι καὶ μὴ διὰ κενῆς γράφειν, ἃ χρεία οὐκ ἔστι.*

---

74) Homer. Textkritik S. 188.

Der Paradosis folgt auch der Venetus und der Laurentianus, ebenso Eustathios, während die Handschriften zur Odyssee (γ 87, 292; ξ 94; τ 553) fast alle ἦχι haben[75]).

ἦ θέμις ἐστί oder ᾗ: die Alten schrieben meist ἧ und fassten es als Adverbium auf in der Bedeutung von ὡς und oxytonierten es zum Unterschied von ᾗ = ὅπου. Apoll. de Adv. 559 τῆς αὐτῆς συντάξεως ἐχόμενόν ἐστι τὸ „ἧτε ξείνων θέμις ἐστί" (ι 268) καὶ δίχα τοῦ τέ συνδέσμου „ἧ θέμις ἐστίν" (Ι 33, 276) ἐν ἴσῳ τῷ ὡς θέμις ἐστί. Herod. zu Β 73 ἧ θέμις ἐστί: τὸ ἧ δασυντέον. οὐ γάρ ἐστι σύνδεσμος, ἀλλ' ἰσοδυναμοῦν τῷ ὥς ἐπίῤῥημα. Ι 134 τὸ ἧ δασυντέον. ἔστι γὰρ ἰσοδυναμοῦν τῷ ὥς, διὸ καὶ ὁ τέ προστίθεται σύνδεσμος πολλάκις. ὡς γὰρ λέγομεν „ὥστε γὰρ ἢ παῖδες νεαροί" (Β 209), οὕτως „ἧ τε ξείνων θέμις ἐστίν" (ι 268). Cram. Ep. 192, 6 ἧ δασυνόμενον καὶ ὀξυνόμενον σημαίνει πέντε, darunter auch ἀντὶ τοῦ ὡς παραβολή „ἧ" (Cod. ᾗ) θέμις ἐστὶν ἄναξ ἀγορῇ" (Ι 33), dasselbe Cram. A. P. III, 301, 16; dagegen 126, 15 δασυνόμενον δὲ καὶ περισπώμενον ἀντὶ τοῦ ὡς „ἧ ὡς (sic) θέμις ἐστί". Im letzteren Falle müsste es das Iota subscriptum haben, wie es sich auch findet bei Eustath. 1463, 17; 1754, 15 und in den Ausgaben bis auf Bekker. Die Stellen im Homer sind Β 73; Ι 33, 134, 276; Τ 177; Ψ 581; Ω 652; γ 45, 187; ι 268; λ 451; ξ 130; ω 286. Die Handschriften zur Odyssee haben γ 45, 187; λ 451; ξ 130 fast alle ἧ, seltener ᾗ, dagegen ω 286 die meisten ἥ.

Buttmann im Lexilogus I, S. 240 und Spitzner Exc. II zu Β 73 befürworten mit Recht die Schreibweise ἧ θέμις ἐστί, wie der Venetus überall hat, auch Ι 33, was Spitzner, der sich nach Villoison's Ausgabe richtete, nicht wissen konnte; doch hat der Venetus (Τ 177 fehlt dort ganz) überall ἡ ohne Accent, ausser Β 73. Dieses ἧ ist Relativpronomen, nicht Adverb, vgl. Λ 779 ξείνιά τ' εὖ παρέθηκεν ἅ τε ξείνων θέμις ἐστίν, wenn nicht vielleicht zu schreiben ist παρέθηχ' ἧ τε wie ι 268 δοίης δωτίνην ἧ τε ξείνων θέμις ἐστί. Noch deutlicher wird die Sache durch ω 286 ἧ (= αὕτη) γὰρ θέμις ὅστις ὑπάρξῃ: die, welche das Demonstrativ nicht betonen, wie Bekker 1, Dindorf, Ameis, schreiben mit Recht ἡ, wollen also auch von einem Adverb

[75]) Homer. Textkritik S. 278.

nichts wissen. Hier konnten auch die Alten kein relatives Adverb = ὡς, sondern höchstens ein demonstratives = ὥς annehmen. Die alten Grammatiker sind wieder einmal in ihrem Bestreben, alles zu sondern und zu unterscheiden, zu weit gegangen: ἥ ist überall Relativum, nur ω 286 Demonstrativum[76].

*ἰδίᾳ, δημοσίᾳ.* Cram. A. O. IV, 333, 1 πᾶσα πτῶσις ἐπιῤῥηματικὴν σύνταξιν ἀναδεξαμένη τὴν οἰκεῖαν γραφὴν τηρεῖ, οἷον „νυκτὸς κάθευδε καὶ ἡμέρας ἐργάζου". διὸ καὶ τὸ ἰδίᾳ καὶ δημοσίᾳ σὺν τῷ ῑ χρὴ γράφειν, ἐπεὶ ἀπὸ δοτικῆς πτώσεως εἰσὶ ταῦτα. Apóll. de Adv. p. 560 Τρύφων φησὶν ὡς τὰ εἰς ᾱ λήγοντα ἐπιῤῥήματα βραχυκατάληκτά ἐστιν. οὐ γεγράψεται ἄρα τὸ ἸΔΙΑ καὶ ΔΗΜΟΣΙΑ σὺν τῷ ῑ. Apollonios widerspricht dem, indem er sagt, dass die Adverbia bald auf kurze, bald auf lange Vocale endigen wie τῆλε, ὀψέ, ἔσω, ἔξω, ἑλληνιστί mit kurzem, ἀκονιτί und ἀναιμωτί mit langem Iota. p. 561 ῥητέον οὖν ἑτέρῳ λόγῳ καὶ περὶ γραφῆς τῆς διὰ τοῦ ῑ. ἡ ἀπὸ τῶν ὀνομάτων σύμπτωσις εἰς τὰ ἐπιῤῥήματα, καθ' οὓς λόγους ἐδείξαμεν ἐν ἀρχαῖς (p. 530) πάντως μετὰ τῶν παρεπομένων ἔχει καὶ τὰς γραφὰς συνυπαρχούσας, so ἀτρεκές, καλόν, εὐρύ, κάλλιστα, πυκνά. Wenn nun, fährt Apollonios fort, ΔΗΜΟΣΙΑ vom Nominativ kommt, so wird es ohne Iota geschrieben, wenn vom Dativ mit Iota. Diese Adverbia kommen aber vom Dativ des Femininums wie οὐδαμῇ, ἄλλῃ und ταύτῃ und τῇδε, denn wenn diese beiden letzteren aus dem Nominativ gebildet wären, so müssten sie αὕτη und ἥδε lauten. δέδεικται ἄρα ὅτι παρὰ δοτικὰς αἱ τοιαῦται ἐπιῤῥηματικαὶ προφοραί. εἰ δὲ παρὰ δοτικάς, δῆλον ὡς καὶ γεγράψεται σὺν τῷ ῑ. καὶ εἰ τοῦτο, καὶ τὸ ἰδίᾳ ἄρα καὶ δημοσίᾳ παρὰ δοτικάς, καὶ οὕτως τὰ ἐπιῤῥήματα γεγράψεται σὺν τῷ ῑ, οὐχ ὥς φησι Τρύφων διὰ τὸ μακρὸν ᾱ.

In den Inschriften erscheinen diese Adverbialformen meistens mit Iota, so *ΙΔΙΑΙ* Nr. 105, Z. 13. 2056, Z. 7. 2061, Z. 5. 2256, Z. 8. 2267, Z. 10. 2268, Z. 6. 2556, Z. 6. 3049, Z. 10. *ΔΗΜΟΣΙΑΙ* 2353, Z. 6. *ΚΟΙΝΑΙ* 2554, Z. 312. 2555, Z. 9. 2556, Z. 47 und 60. 3049, Z. 10. *ΚΟΙΝΗΙ* 2161, Z. 5. 2267, Z. 10. 2268, Z. 7. *ΚΟΙΝΕΙ* 105, Z. 16. ὅπῃ findet sich in

[76]) Homer. Textkritik S. 273. Lehrs Quaest. Ep. 44.

den drei Formen *ΟΠΗΙ* 2554, Z. 56. *ΟΠΕΙ* 1844, Z. 16. *ΟΠΑΙ* 2484, Z. 22. 3053, Z. 11. *ΤΗΙΔ*' 2236, Z. 2; dagegen *ΤΗΔΕ* 2257, Z. 13. *ΕΚΑΤΕΡΗΙ* 2556, Z. 77; dagegen dreimal ohne Iota Z. 20, 26 und 28. *ΠΑΝΤΗ* in der aus sehr später Zeit stammenden Inschrift Nr. 1080 B dreimal. *ΜΗΔΑΜΗΙ* in der Inschrift bei Boeckh, Staatsh. II, S. 336, Z. 27. Im Venetus A haben diese Adverbien durchweg das Iota, in späteren Handschriften seltener.

*Ἀθήνῃσι καὶ Θήβῃσι*: τὰ τοιαῦτα ἐπιῤῥήματα σὺν τῷ ῑ γράφεται Et. Mg. 25, 13; dann weiter 19 γράφεται σὺν τῷ ῑ διὰ τὸ συνεμπεσεῖν ταῖς τοιαύταις Ἰωνικαῖς δοτικαῖς. Aus Θήβαις wird durch Ektasis Θήβαισι, Ionisch Θήβῃσι καὶ μένει τὸ ῑ προσγεγραμμένον. In der bekannten Inschrift Nr. 2374 (Chron. Par.) steht Z. 51, 52, 53, 54, 57, 60, 61, 62 und öfter *ΑΘΗΝΗΣΙΝ* ohne Iota.

*βίηφι*. Die durch φι gebildeten Adverbia haben nach der Lehre der Alten kein Iota, doch stimmen auch hier die einzelnen Angaben nicht überein. Apoll. de Adv. p. 576 προαλὲς δὲ καὶ τὸ λαβεῖν ὅτι ἐν τῷ „ἶφι βίηφιν" ὁλόκληρος ἡ παραγωγή. εἰ γὰρ αὖ ἡ παραγωγὴ στοιχείου γίνεται ἀφαιρετική, ὡς ἐπὶ γενικῆς τοῦ ῡ, πασσαλόφι καὶ χαλκόφιν, ὡς ἐπ' αἰτιατικῆς τοῦ ν̄, δεξιόν δεξιόφιν, ἀριστερόν ἀριστερόφιν, δοθήσεται ὅτι καὶ κατὰ τὸν λόγον τῆς δοτικῆς ὑφιᾶσι τὸ ῑ, καὶ τὰ τῆς ὀρθογραφίας οὕτως καταστήσεται δίχα τοῦ ῑ γραφόμενα. καὶ σαφὲς ὅτι τὰ προκείμενα, ἀκουόμενα ἔχοντα στοιχεῖα, πρόδηλον ἔσχε καὶ τὴν ἀφαίρεσιν. τὰ δὲ ἐν τῇ δοτικῇ οὐκ ἐξεφώνει τὸ ῑ. σαφὲς γοῦν ὅτι, κἂν ἐλλείψῃ τὸ ῑ, οὐ πρόδηλον ἕξει τὴν ὑποστολήν. Schol. V zu *Μ* 153 τὸ δὲ βίηφι χωρὶς τοῦ ῑ ἐστίν. Schol. γ 87 Ἀρίσταρχος δὲ τὸ ἦχι ἄνευ τοῦ ῑ φησὶ καθάπερ καὶ τὸ ἶφι βίηφι. Theognost Can. 160, 14 ἡ κατὰ πτῶσιν γινομένη εἰς φι ἐπέκτασις διὰ τοῦ ῑ γράφεται (d. h. am Ende, oder es ist δίχα zu schreiben) οἷον ἑτέρηφι. τοῦτο ἀπὸ εὐθείας ἀντὶ τοῦ ἑτέρα. ἀπὸ γενικῆς χαλκόφι. ἐπὶ δοτικῆς φαινομένηφι „ὡς φρήτρη φρήτρηφιν ἀρήγει φῦλα δὲ φύλοις" (*Β* 363). Et. Mg. 799, 51 φρήτρηφι: δεῖ δὲ γινώσκειν ὅτι ταῦτα ἔχει τὸ ῑ προσγεγραμμένον. τινὲς δὲ βούλονται γράφειν αὐτὰ χωρὶς τοῦ ῑ, λέγοντες ὅτι αἱ ἐπεκτεινόμεναι πτώσεις διὰ τῆς φι συλλαβῆς, εἰ μὲν ἔχουσιν ἓν φωνῆεν

*κατὰ τὴν λήγουσαν, φυλάττουσιν αὐτό, εἰ δὲ β', ἀποβάλλουσι τὸ ἕν. ἕτεροι δὲ συνηγοροῦσι τῇ παραδόσει· ἡ γὰρ παράδοσις τὰς τοιαύτας δοτικὰς σὺν τῷ ῑ οἶδε γράφειν.* Et. Gud. 448, 35 *παλάμηφιν, προσγεγραμμένον τὸ ἰῶτα ἐκ παραδόσεως. ἔχει δὲ καὶ κανόνα· αἱ διὰ τῆς φῑ συλλαβῆς γινόμεναι ἐπεκτάσεις, προσερχόμεναι ταῖς πτώσεσιν, εἰ μὲν φυλάττουσι τὴν αὐτὴν φωνήν, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσι· φρήτρῃ, φρήτρῃφιν· εἰ δὲ οὐ φυλάττει τὴν αὐτὴν φωνήν, οὐδὲ τὴν αὐτὴν γραφὴν φυλάττουσιν, οἷον χαλκός, χαλκοῦ χαλκόφιν· χωρὶς τοῦ νόσφι καὶ ἶφι* (Cod. *ἴχι*). Cram. Ep. 360, 18 *ΠΑΛΑΜΗΙΦΙΝ: προσγράφει τὸ ῑ ἐκ παραδόσεως.* So viel scheint gewiss, dass einige, wo die Form auf *ηφι* statt des Dativs steht, dieselbe mit Iota geschrieben haben: so hat auch der Venetus A an einigen Stellen, z. B. *Ι* 58 *γενεῆιφιν*. *Κ* 30 *κεφαλῆιφιν*. 257 *κεφαλῆιφιν*. 496 *κεφαλῆιφιν*. *Λ* 350 *κεφαλῆιφι*. *Ω* 600 *φαινομένηιφι*. *Σ* 341 *βίηιφι*, an den übrigen zehn Stellen *βίηφι*[77]).

*ἔξω, προτέρω.* Et. Mg. 544, 12 *κύκλῳ ἐπίῤῥημα τοπικόν . . . ἔχει δὲ τὸ ῑ προσγεγραμμένον ὡς ἀπὸ δοτικῆς. τὸ μέντοι πόῤῥω καὶ ἔξω καὶ ἄφνω οὐ παρὰ δοτικάς. διὸ οὐδὲ προσγεγραμμένον ἔχει τὸ ῑ.* Et. Mg. 663, 21 *ὅσοι τὸ ἐγγυτέρω καὶ ἐγγυτάτω καὶ τὰ ὅμοια σὺν τῷ ῑ βούλονται γράφεσθαι, ἀπὸ δοτικῆς λέγουσιν αὐτὰ εἶναι. καὶ λέγει ὁ Ἐπαφρόδιτος ὅτι τινὰ τῶν ἀρχαίων ἀντιγράφων σὺν τῷ ῑ εἶχον αὐτὰ γεγραμμένα. κρεῖττον δέ ἐστι χωρὶς τοῦ ῑ ταῦτα γράφεσθαι. λέγει δὲ ὁ τεχνικὸς ὅτι εἴ τις τὸ ἔξω σὺν τῷ ῑ γράφει ἐπειδὴ οἱ Συρακούσιοι ἔξοι λέγουσιν, οὐκ ἐπιχειρεῖ καλῶς.* So hat auch der Venetus an einigen Stellen *ὀπίσσωι* Ζ 352, 450; *Ν* 193. *προτέρωι* *Σ* 387; *Ψ* 490, 526. *ἑκαστάτωι* *Κ* 113; der Laurentianus *προτέρωι* *Α* 62, 374; *Β* 537, 864 und sogar *προτέρωισε* *Γ* 1288. *παροιτέρωι* *Γ* 686. *ἑκαστέρωι* *Β* 855, vgl. Schol. I, 172. Unter den Handschriften zur Odyssee haben *προτέρῳ* A zu *ι* 105; D zu *ω* 475; K zu *δ* 667; L zu *ξ* 356; M zu *ι* 62 und 64.

Choirob. Orthogr. 281, 17 *ᾦτε: σὺν τῷ ῑ ἀντὶ τοῦ ὠσείτε.* Et. Mg. 825, 23 wird ebenfalls *ᾦτε* (*ἔχει δὲ τὸ ῑ*) aus *ὠσείτε*

---

77) Ueber die in den Handschriften zur Odyssee vorkommenden Formen auf *ηφι* vgl. Prolegomena zur Odyssee XXXVI—XXXVIII.

hergeleitet ἀποβολῇ τοῦ σ καὶ κράσει τοῦ ω καὶ ε ῷτε, ebenso Cram. Epim. 446, 24 und Et. Mg. 822, 50 ᾧπερ σὺν τῷ ι aus ὡσείπερ durch Ausstossung des σ und Contraction, wobei das ι bleibt. Es sind diese Notizen nur angeführt als Belege dafür, dass ῷτε und ᾧπερ das Iota haben, weniger weil darüber Zweifel erhoben werden könnte, als der Vollständigkeit halber.

τῶ oder τῷ. Der Codex Venetus A zur Ilias hat mit Ausnahme der Stellen, die von zweiter Hand geschrieben sind (*P* 340, 488, 563; *T* 220, 300; *Ω* 428), überall τῶ ohne Iota und das war die Schreibweise der Alten. Schol. *B* 373 τῷ: τὸ τῷ πολλὰ σημαίνει. ἐπὶ μὲν τοῦ τοιούτου περισπᾶται καὶ τὸ ι οὐκ ἔχει. Am ausführlichsten ist die Notiz im Et. Mg. 773, 16—53 τῶ: ... τοῦτο δὲ ὁ μὲν Ἀπολλώνιος ὀξύνει, ὁ δὲ Ἡρωδιανὸς περισπᾷ, λέγων ὅτι οὕτως ἔχει ἡ παράδοσις ... τό, καὶ κατ' ἔκτασιν τῶ ὡς ἐν Ἰλιάδος β' (250) „τῶ οὐκ ἂν βασιλῆας ἀνὰ στόμ' ἔχων ἀγορεύοις". καὶ περισπᾶται κατὰ Ἡρωδιανόν, τοῦτο δὲ τὸ τῶ σημαίνει πέντε (vgl. Schol. *B* 373) ὄνομα, ἄρθρον, ἀντωνυμίαν, σύνδεσμον αἰτιολογικόν, καὶ ῥῆμα. Die angeführten Stellen *B* 250 und 354 dienen zum Beweise, dass die Alten dieses τῶ für eine Conjunction ansahen und es nicht mit der Dativform des Artikels oder Demonstrativums identificierten. Cram. Epim. 416, 6 τῷ: σημαίνει τὸ διό, καὶ περισπᾶται κατὰ Ἡρωδιανόν. Wenn es aber weiter heisst, es sei aus τό durch Verlängerung des ο in ω entstanden, so müssen wir annehmen, dass der Abschreiber hier das Iota zusetzte, denn wer τῶ aus τό durch Verlängerung herleitet, kann es unmöglich mit Iota geschrieben haben. Phot. Lex. 450 τῶ: χωρὶς τοῦ ι ἀντὶ τοῦ διό, τῶ περισπωμένως διό, καὶ οὕτως ἄνευ τοῦ ι. Man vergleiche ferner Suidas IV, 1183; Schol. *γ* 134. In Zon. Lex. 1758 steht τῷ, ebenfalls in Apoll. Lex. 156, 9 und 13. Bei keinem der alten Grammatiker aber wird ausdrücklich angegeben, dass τῶ Iota subscriptum habe und die Schreibweise mit Iota scheint nur dadurch entstanden zu sein, dass man dieses Wort als Dativ des Demonstrativpronomens betrachtete. Der Laurentianus zum Apollonios hat τῷ *A* 334, 633; *B* 15, 183, 247, 335, 389, 455, 799, 873, 889, 1058, 1203; *Γ* 5, 428, 525, 601, 978, 1107; *Δ* 307, 368, 670, 700, 802, 1086, 1168, 1206; nur *A* 113 τώ. Der Wolfenbüttler Codex zu Apollonios hat überall τῶ, nur *Δ* 802 und

1086 τω ohne Accent. Merkel schreibt in der grösseren Ausgabe τώ, in der kleineren (später erschienenen) τῶ und das mit Recht. In der Inschrift Nr. 911, Z. 4 steht *ΤΩΙ*, wozu Boeckh bemerkt: „sed offendit tamen in hac sententia illud τῷ Vs. 5, nisi scripseris τόν". In den Handschriften zur Odyssee steht durchweg τῶ, nur an wenigen Stellen τῷ (gar nicht in CIKN), am häufigsten (7mal) in L, viermal in AM, dreimal in Q, zweimal in D, einmal in B, vgl. Prolegomena zur Odyssee XXXVI—XXXVIII.

*ῥά*. Apoll. de Adv. p. 566 *οὐδὲ μὴν ἐκεῖνο ἔστι παραδέξασθαι, ὡς ὅμοιόν ἐστι τῷ ἰδίᾳ καὶ δημοσίᾳ, καθὸ [οὐ] συνεμπίπτει ὀνόματι, καθάπερ καὶ τὰ προκείμενα. ἔστι γε μὴν περὶ τῆς γραφῆς ἐπιστῆσαι, εἰ καὶ σὺν τῷ ῑ γεγράψεται τὸ ῥά· οὐδὲ γὰρ ἡ τῶν ἀντιγράφων παράδοσις ἐξωμάλιστο. ἀφορμὴ μὲν οὖν ἐγένετο τοῦ δίχα τοῦ ῑ γράφεσθαι τὸ προκείμενον ἐπίῤῥημα ἡ τοῦ ῥέα συναλοιφή, τοῦ ε̄ καὶ ᾱ εἰς μακρὸν ᾱ συνῃρημένων, ἣν οὐ παραδεξαίμεθ' ἂν κατὰ πρῶτον μὲν λόγον, καθότι οὐ περισπᾶται, καὶ καθὼς εἴπομεν, ὅτι καὶ πρόσθεσίς ἐστι τοῦ ῑ. κατὰ δὲ δεύτερον διαπορήσειε[ν ἄν] τις, ποίῳ λόγῳ οἱ Αἰολεῖς τὸ β̄ προσέθηκαν. μήποτε οὖν γραπτέον σὺν τῷ ῑ.*

*ᾤμοι* oder *ὤμοι*. Et. Mg. 822, 34 *ὤμοι: ἐκ τοῦ οἴμοι κατὰ ἔκτασιν τοῦ ο̄ εἰς ω̄ ᾤμοι. εἰ δὲ γράφεται χωρὶς τοῦ ῑ, γίνεται ἀπὸ τοῦ ὦ* (Cod. ω) *ὤμοι*. Choirob. Orthogr. 281, 16 *ᾤμοι: διχῶς ἐκ τοῦ οἴμμοι* (sic). Cram. Epim. 450, 6 *τοίνυν ἀπὸ τοῦ ω̄ ὤμοι, καὶ τὸ ῑ οὐκ ἔχει*. Die Alten waren hierin nicht einig: der Venetus A hat überall *ὤιμοι*, so auch öfter der Laurentianus, z. B. *Γ* 674.

*ᾠαί*. Choirob. Orthogr. 281, 1 *ὠιαί: σὺν τῷ ῑ ἡ παράδοσις. ὅτε σχετλιασμοῦ ἐστιν ἐπίῤῥημα.*

## C. Pronomina.

Dass Pronominalformen, wie τῷ, ᾧ, ῇ, αὐτῷ, αὐτῇ, αὐτῇσι und ähnliche, die der Declination der Nomina folgen, mit Iota geschrieben werden müssen, ist so selbstverständlich, dass wir uns nicht weiter nach Belegen dafür in den Schriften der alten Grammatiker umzusehen brauchen: es dürfte sich auch schwerlich einer dafür beibringen lassen. In guten Inschriften

und Handschriften werden diese Formen durchgehends mit Iota geschrieben.

Es kommen hier nur die Dualformen *νῷν* und *σφῷν* in Betracht, die bei Homer stets in der Diäresis erscheinen *νῶιν* und *σφῶιν*: eine einzige Stelle macht eine Ausnahme *δ* 62 *οὐ γὰρ σφῷν γε γένος ἀπόλωλε τοκήων, ἀλλ' ἀνδρῶν γένος ἐστὲ διοτρεφέων βασιλήων*: dazu Schol. H. M. *χωρὶς τοῦ ῑ ἡ σφῶν, ὡς Ἀρίσταρχος καὶ Ἡρωδιανός. Ἀπολλώνιος δὲ ἐν τῷ περὶ ἀντωνυμιῶν* (p. 110 A) *γράφει αὐτὴν μετὰ τοῦ ῑ, ἵν' ᾖ δευτέρου προσώπου κατὰ συναίρεσιν. ἀλλ' οὐκ ἔστι ποτὲ παρὰ τῷ ποιητῇ γενικὴ καὶ δοτικὴ μὴ ἐκφωνοῦσα κτλ.* Schol. MV *σὺν τῷ ῑ γραπτέον, ἵν' ᾖ σφῶιν δυϊκῶς.* Schol. E *σεσημείωται τὸ σφῶν ἐπὶ δευτέρου προσώπου λαμβανόμενον.* Die im Schol. erwähnte Stelle aus Apoll. de Pron. lautet *τοιοῦτο δ' ἦν τὸ „οὐ γὰρ σφῷν γε γένος ἀπόλωλε τοκήων", ὅπερ ἐδόκει ἐπίμεμπτον εἶναι ὡς τρίτον πληθυντικὸν δίχα τοῦ ῑ γραφόμενον, τοῦ λόγου ἀπαιτοῦντος δεύτερον· πρὸς γὰρ αὐτούς, οὐ περὶ αὐτῶν.* Was in dem obenerwähnten Scholion noch unklar sein könnte, wird deutlicher durch eine Stelle des Et. Mg. 610, 2 *τοῦτο γὰρ ἔπαθον καὶ ἡ νῶιν καὶ ἡ σφῶιν κατὰ συναίρεσιν γενόμεναι νῷν καὶ σφῷν, ἵνα διὰ τῆς συναιρέσεως ἐξαμαυρωθῇ ἡ παράλογος τάσις. δεῖ γινώσκειν ὅτι Ἀρίσταρχος τὸ „οὐ γὰρ σφῶν ἀπόλωλε τοκήων" (ἔστι δὲ Ὁμήρου) χωρὶς τοῦ ῑ ἀξιοῖ γράφεσθαι, λέγων ὅτι τρίτου προσώπου ἐστὶ τῶν πληθυντικῶν, ἡμῶν, ὑμῶν, σφῶν, ἀντὶ δευτέρου δυϊκοῦ. ἀντὶ γὰρ τοῦ σφῶιν κεῖται. ἀλλ' ἔστιν εἰπεῖν ὅτι χωρὶς τοῦ ῑ γράφεται, ἐπειδὴ οὐδέποτε τῇ γενικῇ καὶ δοτικῇ τῶν δυϊκῶν κέχρηται ὁ ποιητὴς εἰ μὴ κατὰ διάλυσιν, τοῖν τοῖιν, ὤμοιν ὤμοιιν. εἰ οὖν ἐνταῦθα τὸ ῑ εἶχεν, ὤφειλε κατὰ διάλυσιν εἶναι*[78]). Hier haben wir den einzig ver-

[78]) Die ähnliche Notiz in Zonaras Lexikon p. 1411 muss folgendermassen gebessert werden: *„νῷν καὶ σφῷν: σὺν τὸ ῑ ἀπὸ γὰρ τοῦ νῶιν καὶ σφῶιν γέγονε κατὰ συναίρεσιν τοῦ ω̅ καὶ ῑ εἰς τὴν ῳ̅* (Cod. *ω*) *δίφθογγον, ἄλλως δὲ πᾶσα δοτικὴ ἐπὶ παντὸς ἀριθμοῦ τὸ ἰῶτα ἔχει. Ἀρίσταρχος δὲ παρ' Ὁμήρῳ* (Cod. *Ὅμηρος δὲ*) *χωρὶς τοῦ ῑ ἀξιοῖ γράφεσθαι, λέγων ὅτι τρίτου προσώπου ἐστὶ τῶν πληθυντικῶν* (Cod. *τρία πρόσωπα εἰσὶ τῶν παθητικῶν*), *ἡμῶν, ὑμῶν, σφῶν.* [*τὸ δὲ σφῷν*] *ἐστι δευτέρου δυϊκοῦ* (Cod. *ἀντὶ τοῦ δύο, δυϊκὸν*), *κεῖται* [*γὰρ*]

nünftigen Grund, der Aristarch bewog diese Verse zu verwerfen und oben ist zu schreiben *ἐκφωνοῦσα τὸ ῑ*. Verdorben ist auch das folgende *τὸ γὰρ λέγειν καὶ ὤμοιιν καὶ ποδοῖιν* μετὰ τοῦ ῑ λέγει δισυλλάβως*, denn die beiden angeführten Dualformen sind ja dreisilbig: vor *μετὰ* muss *σφῶιν* ausgefallen sein, welches bei Homer sonst nur zweisilbig vorkommt, und der Sinn ist „ebenso wie die Genetive des Duals *ποδοῖιν* und *ὤμοιιν* stets nur *ἐν διαλύσει* vorkommen, so ist auch *σφῶιν* immer zweisilbig, dasselbe was in dem anderen Scholion ausgedrückt ist durch *τὸ γὰρ σφῶιν οὐχ Ὁμηρικῶς μονοσυλλάβως ἐξηνέχθη*. Dass Aristarch sonst die einsilbigen Formen gelten liess, sehen wir aus den Worten „*ἐπίτηδες δὲ Ἀρίσταρχος ἀθετουμένων τῶν στίχων καὶ ἄνευ τοῦ ῑ εἴασε τὴν γραφήν, ἵνα καὶ τοῦτο πρὸς τὴν ἀθέτησιν λαμβάνῃ*“. Apoll. de Pron. p. 113 *αἵ τε γενικαὶ αὐτῶν* (von *νώ* und *σφώ*) *εὐλόγως διὰ τοῦ ῑ γράφονται, εἴγε παντὸς δυϊκοῦ εὐθεῖα μὲν ἓν ἔχει φωνῆεν, γενικὴ δὲ δύο, ὧν τὸ δεύτερον ῑ. ἀλλὰ καὶ περισπασθήσονται, εἴγε τὰ ὀξύτονα τῶν δυϊκῶν [μονοσύλλαβα?] περισπᾶται κατὰ γενικήν.*

Auch die Formen des Nominativs und Accusativs wurden von einigen mit Iota geschrieben. Et. Mg. 609, 39 **νώ**: *ἅπαξ ἐχρήσατο ταύτῃ τῇ λέξει ὁ ποιητὴς ἐν τῇ Ὀδυσσείᾳ* (ο 475) *καὶ ἐν Ἰλιάδος Ε* (219) . . . *ὅτι τὸ νώ καὶ τὸ σφώ σὺν τῷ ῑ τινὲς γράφουσι, λέγοντες ἀπὸ τοῦ νῶι καὶ σφῶι γίνεσθαι κατὰ συναίρεσιν τοῦ ω̄ καὶ ῑ εἰς τὴν ῳ̄ δίφθογγον. ἀλλ' ἡ παράδοσις οὐκ οἶδε τὸ ῑ ἐγκείμενον. ἔτι γὰρ κατὰ συγκοπὴν λέγουσι χωρὶς τοῦ ῑ. ἀλλὰ λέγει ὁ τεχνικός* (Apoll. de Pron. 112), *ὅτι εἰ ἀπὸ τοῦ νῶι καὶ σφῶι συνεκόπη, ὤφειλε περισπᾶσθαι. ἄλλοι δὲ λέγουσι, τὸ νώ καὶ σφώ οὐκ ἐγένετο ἀπὸ τοῦ νῶι καὶ σφῶι, ἀλλὰ καὶ ταῦτα ἑτέρων θέματά εἰσι. λέγει δὲ ὁ τεχνικός, ὅτι ἀπὸ τοῦ νῶι καὶ σφῶι γέγονε κατὰ συγκοπὴν τοῦ ῑ καὶ ὀξύνεται ἀναλόγως. καὶ γὰρ τὸ ἐν τοῖς δυϊκοῖς ω̄ ἀποστρέφεται τὴν περι-*

---

*ἀντὶ τοῦ σφῶιν. ἀλλ' ἔστιν εἰπεῖν [ὅτι] χωρὶς τοῦ ῑ γράφεται, ἐπειδὴ οὐδέποτε τῇ γενικῇ καὶ τῇ δοτικῇ [τῶν δυϊκῶν] κέχρηται ὁ ποιητὴς εἰ μὴ κατὰ διάλυσιν, οἷον τοῖν τοῖιν, ὤμοιν ὤμοιιν, ἀλλήλοιν ἀλλήλοιιν. εἰ οὖν ἐνταῦθα τὸ ῑ εἶχεν* (Cod. *ἔχει*), *ἤμελλε κατὰ διάλυσιν εἶναι.* Die Angaben in dem Lexikon des Zonaras sind nicht selten durch Abkürzungen entstellt.

*σπωμένην τάσιν.* Apoll. de Pron. p. 110 *αἱ Ἀττικαὶ κατὰ τὴν εὐθεῖαν ὀξυτόνως ἀνεγνώσθησαν παρὰ τῷ ποιητῇ καὶ ἅπασι τραγικοῖς τε καὶ κωμικοῖς, αἵ τε γραφαὶ οὐκ ἔχουσι τὸ ῑ προσκείμενον κτλ.*

D. Conjugationsformen.

Cram. A. O. II, 311, 5 *πᾶν ῥῆμα εἰς ω̄ λῆγον ἔχει τὸ δεύτερον πρόσωπον διὰ διφθόγγου, οἷον λέγω λέγεις, κόπτω κόπτεις. καὶ τὸ βοῶ οὖν ἔχει τὸ δεύτερον διὰ τῆς α̅ι̅ βοᾷς. καὶ τὸ ἐὰν λέγῃς μετὰ τοῦ ῑ, καὶ τὸ ἐὰν δῷ, δῷς, ὁμοίως*, dieses *δῷ* ist nicht erste, sondern dritte Person. Der Grund dafür dürfte wohl der sein, dass das Iota der ursprünglichen Endung *ω̄* zurückgetreten ist, wie in *τενίω τείνω, ἀμενίων ἀμείνων, ἐσσί εἶς, φησί φῄς.* Cramer An. Ox. IV, 172, 9 *προσγράφεται γὰρ τὸ ῑ, ὡς τὸ βοᾷς, βοᾷ· βοάεις γὰρ λέγομεν βοαῖς, καὶ προσγραφομένου τοῦ ῑ βοᾷς* .......... *τὰ εἰς ω̄ ῥήματα θέλουσιν ἔχειν ἐν βω καὶ γω προσώπῳ δίφθογγον τὴν μετὰ τοῦ ῑ, ὡς τὸ τύπτω, τύπτεις, τύπτει, βοῶ, βοᾷς, βοᾷ.* Et. Mg. 637, 33 *τὸ μὲν οὖν ἐντελὲς τοῦ ἐνεστῶτος ἐστὶν ἐῶ, ἐᾷς, ἐᾷ μετὰ τοῦ ῑ. τοῦ δὲ παρατατικοῦ εἴων, εἴας, εἴα οὐ μετὰ τοῦ ῑ ... εἰ δὲ ἐνεστώς ἐστιν ἀεὶ περισπᾶται καὶ σὺν τῷ ῑ γράφεται.* Auch die zerdehnten Formen des Indicativs haben das Iota, *ὁράᾳς, ἐάᾳ.* Et. Mg. 201, 46 *βοᾷ σὺ καὶ πειρᾷ σύ. ἔχει τὸ ῑ προσγεγραμμένον. τὸ δὲ βοᾶν καὶ γελᾶν ἀπαρέμφατα οὐκ ἔχει τὸ ῑ προσγεγραμμένον, ὅτι ἀπὸ τοῦ παρατατικοῦ γέγονε τοῦ ἐβόα καὶ ἐγέλα, καὶ ὁ παρατατικὸς οὐκ ἔχει τὸ ῑ προσγεγραμμένον:* etwas wahres ist daran, da *βοᾶν* nicht aus *βοάειν* entstanden ist, sondern aus *βοάεμεν, βοάεν* und daraus *βοᾶν* wie aus *ἐβόαε ἐβόα*; denn wäre das *ῑ* in der Infinitivendung wesentlich, so müsste der Infinitiv von *χρυσῶ* nicht *χρυσοῦν*, sondern *χρυσοῖν* lauten, nach Analogie von *χρυσοῖς χρυσοῖ.* Et. Mg. 419, 53 *τὰ εἰς ν̄ λήγοντα ῥήματα οὐ θέλει ἔχειν πρὸ τοῦ ν̄ τὶ ἀνεκφώνητον, οἷον βοᾶν.* Die guten Handschriften folgen den hier angeführten Regeln, doch gibt es auch Ausnahmen, namentlich in Betreff der Infinitivformen auf *α̅ν̅*, vgl. Prolegomena zur Odyssee XXXVI —XXXVIII, wo man Formen wie *ἐᾷν, ἐλάᾳν, ὁρᾷν* findet. In den Inschriften kommen derartige Verbalformen äusserst selten vor, so Nr. 2374, Z. 64 und 82 *ΤΕΛΕΥΤΑΙ.* 2477, Z. 24

*ΕΠΕΡΩΤΑΙ.* 3797, Z. 5 *ΕΡΕΥΝΑΙ*, dagegen 1888, Z. 5 *ΓΕΝΝΑ* und 2239 *ΕΣΟΡΑΣ*.

Cram. A. O. II, 311, 9 *πᾶν ῥῆμα εἰς μαι λῆγον ἔχει τὸ δεύτερον πρόσωπον εἰς ῑ λῆγον· ὄψομαι ὄψῃ, τύπτομαι τύπτῃ, λέγομαι λέγῃ.* Et. Mg. 484, 30. Et. Gud. 290, 40 *μέμνημαι, μέμνησαι* und Ionisch *μέμνηαι*, daraus durch Krasis *μέμνῃ. καὶ μένει τὸ ῑ ἀνεκφώνητον*, so auch *κάθῃ, δύνῃ* nach Choiroboskos. Schol. λ 221 *δαμνᾷ ὡς κιρνᾷ . . . δαμνῶμαι ὡς πειρῶμαι „πειρᾷ ἐμεῖο γεραιέ“* (Ω 390) *καὶ ἐκφωνουμένου τοῦ ῑ ὡς τὸ δύναι* (Vind. 133 *δύνᾳ*) *παρ' Ἀττικοῖς*. Das ganze Scholion ist verdorben und dürfte das richtige kaum mehr herzustellen sein. Cramer Anecd. Ox. IV, 186, 11 *κάθῃ, μέμνῃ, δύνῃ: μέμνησαι καὶ ἀποβολῇ τοῦ σ μέμνηαι καὶ κατὰ συγκοπὴν τῆς παραληγούσης μέμνῃ . . . μένοντος καὶ τοῦ ῑ προσγεγραμμένου, οἷον μέμνῃ.*

*φῄς* und *φής*. Cram. A. O. II, 311, 11 *οὐδὲν τῶν εἰς μι ῥημάτων ἐπὶ δευτέρου προσώπου ἔχει τὸ ῑ· τίθημι τίθης, δίδως, πλὴν τοῦ φημί φῄς* (nicht *φῇς* wie die Handschrift hat, denn das wäre Conjunctiv). Cram. A. O. IV, 349, 10 *καὶ ἀπὸ τοῦ φημὶ δὲ τὸ δεύτερον πρόσωπον φής ὤφειλεν εἶναι χωρὶς τοῦ ῑ, τροπῇ τοῦ μι εἰς σ. ἀλλ' ἡ παράδοσις σὺν τῷ ῑ οἶδεν αὐτὸ γεγραμμένον, οἷον φῄς* (Cod. *φῇς*), *ὡς ἐν τῇ ὀρθογραφίᾳ, εἰ θεῷ φίλον, μαθησόμεθα*; ebendaselbst 354, 19 *τὸ φῄς οὐκ οἶδεν ὁ Ἀπολλώνιος σὺν τῷ ῑ γεγραμμένον. ἡ μέντοι παράδοσις καὶ ὁ Ἡρωδιανὸς σὺν τῷ ῑ οἶδεν αὐτὸ γεγραμμένον, ὡς ἐν τῇ ὀρθογραφίᾳ, ὡς θεῷ φίλον, μαθησόμεθα.* Et. Mg. 791, 49 *φῄς: εἰς τὸ βῆ. δεῖ γινώσκειν ὅτι τὸ „φῂς τοῦτο κάκιστον“* (α 391) *ἐνεστὼς ἐστι δευτέρου προσώπου καὶ σὺν τῷ ῑ γράφεται. καὶ ὅσον κατὰ ἀναλογίαν οὐκ ὤφειλεν ἔχειν τὸ ῑ. τὰ γὰρ εἰς μι τροπῇ τοῦ μι εἰς σ τὸ δεύτερον ποιοῦσιν . . . ἀλλὰ κατὰ ἱστορίαν, ἤγουν κατὰ παράδοσιν, ἔχει τὸ ῑ προσγεγραμμένον.* Für die Feststellung des Begriffes der Paradosis namentlich in ihrem Verhältniss zur Analogie und zur Schreibweise der vornehmsten Grammatiker ist diese Stelle von grösster Wichtigkeit. Cram. Ep. 432, 25 *φῄς: τὸ φῄς οὐ δοξάζει ὁ τεχνικὸς* (Apollonios) *σὺν τῷ ῑ γράφειν. ἡ μέντοι παράδοσις οἶδεν αὐτὸ σὺν τῷ ῑ γραφόμενον. ἔστι δὲ ἀπὸ τῶν εἰς μι. οὐ περισπᾶται γάρ. τὰ γὰρ ἀπὸ τῶν εἰς μι δεύτερα πρόσωπα*

ἐνεστῶτος χρόνου οὐ περισπᾶται (cit. φής *E* 473. εἰς *Φ* 150) τὸ δὲ „πῶς δὴ φῆς πολέμοιο μεθιέμεν" (*Δ* 351) περισπώμενον Ἰωνικόν. Herodian zu *P* 174 ὅς τέ με φής: ἀξιοῖ ὁ Ἀσκαλωνίτης ἀναγινώσκειν δισυλλάβως (μ' ἔφης) ἐπὶ ἀορίστου χρόνου, ὁ μέντοι Ἀλεξίων μονοσυλλάβως ἐπὶ ἐνεστῶτος χρόνου, διὸ καὶ σὺν τῷ ῐ γράφεσθαι. τοῦτο δὲ ἀπαιτεῖ ἡ διάνοια, κἀγὼ δὲ συγκατατίθεμαι. διὸ ἐν τῇ συντάξει ἐγκλιτέον. ὀξύνεται γὰρ ἐπὶ ἐνεστῶτος χρόνου. Herod. zu *η* 239 τὸ φῄς (Cod. φῇς) ὅτε σὺν τῷ ῐ γράφεται, ἐνεστῶτός ἐστι καὶ ὀξύνεται, ὅτε δὲ ἄνευ τοῦ ῐ, παρατατικός ἐστιν Ἰακῶς (d. h. ohne Augment) ἐκ τοῦ ἔφης γεγονὼς καὶ περισπᾶται. Zon. Lex. 1805 φῆς: Ἀρίσταρχος περισπᾷ ἵν' ᾖ ἐκ τοῦ ἔφης. διὸ καὶ χωρὶς τοῦ ῐ γράφεται. σημαίνει δὲ τὸ ἔλεγες (Cod. λέγεις). φῄς (Cod. φῇς) σὺν τῷ ῐ. φημί, φῄς (Cod. φῇς) ἔχει τὸ ῐ καθ' ἱστορίαν ἤγουν κατὰ παράδοσιν· τότε γὰρ τῇ ἱστορίᾳ χρώμεθα, ἡνίκα τι κατὰ παράδοσιν γράφεται, ὥσπερ τὸ σκείρων. Ἀρίσταρχος δὲ τὸ φῆς περισπᾷ καὶ τὸ ῐ οὐ γράφει. λέγει γὰρ ἐὰν εἶχε τὸ ῐ, ἐνεστὼς ὤφειλεν εἶναι. Dies ist sicher aus Herodian zu *E* 473 geschöpft: dort ist der Venetus von zweiter Hand geschrieben und hat keine Scholien. Eustath. p. 1378, 18 führt ebenfalls φῄς als Präsens und φῆς als Präteritum an, schreibt aber *η* 239 φῄς. φῄς als Präsens haben also Aristarch, Herodian, Alexion und die Paradosis; Apollonios nach der Analogie der übrigen Verba φής ohne Iota. φῆς als Präteritum ebenfalls Aristarch und Herodian und gewiss auch die anderen, da nirgends eine abweichende Schreibweise angeführt wird[79]). Bei Homer ist φῆς zu schreiben *E* 473. *η* 239. *ξ* 117, sonst φῄς *Δ* 351. *Ξ* 265. *P* 174. *α* 391.

Augment. Bekk. An. 804 πάλιν αἱ δίφθογγοι αἱ τρεῖς μετατρέπουσιν εἰς τὸν παρατατικόν, αἱ δὲ ἄλλαι ἄτρεπτοί εἰσι. φημὶ δὲ ἡ αι δίφθογγος· τρέπει γὰρ τὸ α εἰς η, οἷον αἰσχύνομαι, ᾐσχυνόμην, αἰδοῦμαι ᾐδούμην, αἰτῶ ᾔτουν. καὶ ἡ αυ δίφθογγος τρέπει καὶ αὐτὴ τὸ α εἰς η, οἷον αὐλῶ ηὔλουν, αὐχῶ ηὔχουν. καὶ ἡ οι δίφθογγος τρέπει τὸ ο εἰς τὸ ω, οἷον οἴχομαι ᾠχόμην, οἴγω ᾦγον, οἰκῶ ᾤκουν, οἰκοδομῶ ᾠκοδόμουν. αὕτη δὲ ἡ οι δίφθογγος διφορεῖται, καὶ ποτὲ μὲν

[79]) Homerische Textkritik S. 374.

φυλάττει ἐν τῷ παρατατικῷ (καὶ ἐν τῷ ἐνεστῶτι) ὡς τὸ οἰνοχοῶ οἰνοχόουν, οἰωνίζομαι οἰωνιζόμην, οἰκουρῶ οἰκούρουν. πάλιν τὸ οὐρῶ οὔρουν, οὐριοδρομῶ οὐριοδρόμουν, εἴργω εἶργον, εἰκονίζω εἰκόνιζον, εἰκάζω εἴκαζον. οἱ δὲ Ἀττικοὶ διὰ τοῦ η καὶ τοῦ ι οἷον ᾔκαζον. Cram. A. O. II, 310, 13 ἰστέον ὅτι ταῦτα τὰ ῥήματα οὐκ ἔτρεψαν τὴν δίφθογγον αὐτῶν ἐν τοῖς παρῳχημένοις. οἷον οἰακίζω οἰάκιζον, οἰωνίζομαι οἰωνιζόμην, οἴομαι (?) οἰόμην, οἰνῶ οἴνουν, οἰνίζω οἴνιζον, οἰμῶ οἴμουν, διὰ τὸ ἐπιφέρεσθαι φωνῆεν, οὐ τρέπει τὴν οι δίφθογγον ἐν τοῖς παρῳχημένοις διὰ τὸ κακόφωνον. Am ausführlichsten ist die einer angeblichen Schrift Herodians (περὶ τοῦ μεγάλου ῥήματος) entnommene Notiz in zwei Wiener Handschriften Nr. 172 und 271 πόσα εἰσὶ ῥήματα μὴ τρέποντα τὴν οι δίφθογγον εἰς ῳ; ἕνδεκα. οἰῶ (271 ἰοῦμαι, d. h. οἰοῦμαι) οἰώθη τὸ ἐμονώθη (Λ 401), οἰμῶ οἴμησεν (ω 538) τὸ ὥρμησεν, οἰνῶ οἴνουν, οἰνίζω οἴνιζον (Η 472 οἰνίζοντο), οἰστρῶ οἴστρουν, οἰωνίζομαι οἰωνιζόμην, οἰωνοσκοπῶ οἰωνοσκόπουν, οἰωνοπολῶ οἰωνοπόλουν, οἰακίζω οἰάκιζον, οἰακονομῶ οἰακονόμουν, οἰακοστροφῶ οἰακοστρόφουν. τινὲς δὲ προστιθέασι καὶ τὸ οἰδαίνω οἴδαινον, οἰκουρῶ οἰκούρουν, οἰμώζω οἴμωζον. καὶ διατί ταῦτα οὐ τρέπουσι τὸ οι εἰς ῳ; ἢ δι' ἀφωνίαν ἢ δι' Ἰωνικὸν ἔθος. οἱ γὰρ Ἴωνες πολλάκις συναρχομένους ποιοῦσι τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσι. Bei Homer kommen folgende Verba, die mit οι beginnen, im Präteritum unaugmentiert vor οἰώθη Ζ 1; Λ 401. οἴμησε Χ 140, 308, 311; ω 538. οἰνίζοντο Η 472; Θ 546. οἰνοχόει Δ 598; ο 401, so Aristarch, Aristophanes, Zenodot, Antimachos und die Ausgaben von Argos und Massilia. Immer augmentiert sind οἰκέω (Β 668; Ξ 116; Υ 218; ι 200, 400), οἰκτείρω (Λ 814; Π 5; Ψ 534), οἰμώζω 13mal, οἴχομαι 40mal. Et. Mg. 820, 14 ᾦγον σὺν τῷ ι. Zon. Lex. 1881 ᾦγον σὺν τῷ ι. ἀπὸ τοῦ οἴγω, τὸ ἀνοίγω, ἐγένετο, καὶ τροπῇ τοῦ ο εἰς ω. ὥσπερ οἴχομαι ᾠχόμην, οἰκῶ ᾤκουν, [οἴγω ᾦγον]. τούτου τὸ δεύτερον πρόσωπον ᾦγες, καὶ ᾦγε τὸ τρίτον. Choirob. Orthogr. 217, 24 „ἤομεν ὡς ἐκέλευσας“ (κ 251) ἀπὸ τοῦ εἴω τοῦ πορεύομαι τροπῇ τοῦ ε εἰς η. καὶ ἔχει καὶ τὸ ι προσγεγραμμένον. Cram. A. O. II, 373, 28 ᾔεσαν καὶ προσῄεσαν: τὸ θέμα εἴω διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ ι.

ἐκ τοῦ ἕω τὸ πορεύομαι καὶ πλεονασμῷ τοῦ ι εἴω, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἷα. κοινῶς μὲν διὰ διφθόγγου, Ἀττικῶς δὲ διὰ τοῦ η. οἱ γὰρ Ἀττικοὶ τὸ ε τῶν παρῳχημένων εἰς η τρέπουσιν. οὕτως καὶ τὸ εἷα τὸ διὰ διφθόγγου ᾖα λέγουσι διὰ τοῦ η καὶ ι. ὁ ὑπερσυντέλικος ᾔειν, καὶ τὸ πληθυντικὸν ᾔειμεν, ᾔειτε, ᾔεισαν, καὶ ἀποβολῇ τοῦ ι ᾔεσαν καὶ προσῄεσαν. Zon. Lex. 969 ᾖα: ἦλθον, ἐπορευόμην. ᾖα τὸ ἐπορευόμην σὺν τῷ ι γράφεται, καὶ Ἰωνικῶς ἤια, ἤισαν καὶ ᾔεσαν. Bei Homer kommen die aufgelösten Formen häufiger vor, so ἤια 12mal, darunter nur einmal *N* 103 in der Ilias; ἤιε 23mal; ἤιον ψ 370; ω 501. ἤισαν 7mal. Dagegen ᾖε *M* 371. ᾔομεν κ 251, 570; λ 22. ᾔει *K* 286; *N* 247; ϑ 290. Die Schreibweise τ 283 schwankt zwischen ἤην und ᾔειν, vgl. Et. Mg. 431, 28 λέγεται δὲ τετραχῶς· λέγεται γὰρ ἦν καὶ ἔην καὶ ἦεν καὶ ἤην παρὰ τῷ ποιητῇ ἐν Ὀδυσσείας τ (283) „καί κεν πάλαι ἐνθάδ' Ὀδυσσεὺς ἤην.“ οὕτως Ζηνόδοτος· καὶ ἐν Ἰλιάδος λ (807) „ἵνα σφ' ἀγορή τε θέμις τε (Cod. ἀγοσθένης) ἤην.“ τ 283 haben εἴην A 1. man. CDHI; εἴη A post ras. L. ᾔειν M. Zu vergleichen ist auch Et. Mg. 121, 29 ἀπῇμεν . . . δεῖ γινώσκειν ὅτι τὸ ἀπῄειν καὶ τὰ ὅμοια σὺν τῷ ι γράφεται, als Belege dafür wird ἤια angeführt; ferner Et. Mg. 420, 1.

Die Formen ᾔδει und ᾔδη, letzteres schrieb Aristarch überall bei Homer, haben das ἰῶτα προσγεγραμμένον, vgl. Et. Mg. 419, 30 οἱ Ἀττικοὶ τὸ ε τῶν παρῳχημένων εἰς η τρέπουσι. τὸ ἐβουλόμην ἠβουλόμην λέγουσιν. οὕτω καὶ τὴν ει δίφθογγον ἐποίησαν εἰς η καὶ ι προσγεγραμμένον ᾔδειν. οἱ γὰρ παρῳχημένοι ἢ ἴσα φωνήεντα θέλουσιν ἔχειν πρὸς τὴν ἀρχὴν τοῦ ἐνεστῶτος, ἢ πλείονα, οὐδέποτε δὲ ἐλάττονα. ἴσα μὲν αὐλῶ ηὖλουν, οἰκῶ οἴκουν· πλείονα δὲ ἔχω εἶχον, ἐῶ εἴων. εἰ οὖν τὸ εἴδω, εἴκω, εἰκάζω δύο φωνήεντα ἔχει κατὰ τὴν ἀρχήν, δῆλον ὅτι τὸ ᾖκον, ᾔκαζον, ᾔδειν δύο φωνήεντα ἔχει, ἵνα μὴ εὑρεθῇ ἐλάττονα. ὁ δὲ Ἀπολλώνιος λέγει χωρὶς τοῦ ι. οἱ γὰρ Δωριεῖς πολλάκις τὴν ει δίφθογγον εἰς η τρέπουσιν, οἷον ἦχον (f. εἶχον), ἧλκον. ἀλλ' οἱ Δωριεῖς τότε τρέπουσιν, ἡνίκα τὸ ι ἐν τῇ μετοχῇ ἀποβάλληται. ἔχων γὰρ καὶ ἕλκων ἡ μετοχή, ähnlich Et. Gud. 236, 17. Lex. Zon. 977. Cram. A. P. III, 326, 20.

Zon. Lex. 1010 ᾖσμεν, ἀντὶ τοῦ ᾔδειμεν. ᾔστην, ᾖστε,

ᾖσαν διὰ τοῦ ῑ γράφεται. καὶ λέγει Ὧρος ὁ Μιλήσιος ἐν τῇ οἰκείᾳ αὐτοῦ ὀρθογραφίᾳ· ἔστι γὰρ εἴδω, ὁ ὑπερσυντέλικος εἴδην, καὶ κατ' ἔκτασιν Ἀττικὴν ᾔδειν, ᾔδεις, ᾔδει, τὸ δεύτερον τῶν δυϊκῶν ᾔδειτον, ᾐδείτην, καὶ κατὰ συγκοπὴν τῆς ει διφθόγγου καὶ τροπῇ τοῦ δ εἰς σ ᾔστην, ἀντὶ τοῦ ᾐδείτην, τὸ πληθυντικὸν ᾖσμεν ἀντὶ τοῦ ᾔδειμεν, ᾖστε ἀντὶ τοῦ ᾔδειτε, καὶ ᾖσαν ἀντὶ τοῦ ᾔδεσαν. Diese synkopierten Formen stehen öfters bei den Tragikern ᾖσμεν Aisch. Ag. 1058. Eurip. Hek. 1112. Herakl. 658. ᾖσαν Aisch. Prom. 452. Eur. Rhes. 855. ᾔστην Aristoph. Av. 19; im Et. Mg. 438, 53 werden ebenfalls für alle vier Formen Stellen angeführt.

Zon. Lex. 946 ἐῴκει: ὡμοίαζεν. ἐῴκειν ἔχει τὸ ῑ. εἴκω τὸ ὁμοιῶ, ὁ μέσος παρακείμενος εἶκα καὶ κατὰ διάλυσιν ἔικα, καὶ ἐπενθέσει τοῦ ο ἔοικα, καὶ ἐπαυξήσει τοῦ ο μικροῦ εἰς ω μέγα ἔῳκα, καὶ μένει τὸ ῑ προσγεγραμμένον. ὁ ὑπερσυντέλικος ἐῴκειν, ἐῴκεις.

Die guten Handschriften haben auch in diesen Verbalformen überall das Iota, ebenso die Inschriften: Nr. 93, Z. 46 *HIPEΘEΣAN* ᾑρέθησαν. 108, Z. 17 *ΩIKOΔOMHΣEN*. 2236, Z. 4 *HIΔOMEN*. 2272, Z. 15 *HIPHMENOYΣ*. 2374 (Marmor Parium), Z. 22 und 42 *ΩIKIΣE*. Z. 35 *ΣYNΩIKIΣEN*. Z. 85 *ΩIKIΣΘH*. 2525, Z. 109 *EΠAINEΘH* ἐπῃνέθη. Doch fehlt es auch bisweilen: 938, Z. 2 *ΩXET* ᾤχετ'. 2059, Z. 33 *AΦHPHΣΘAI* ἀφῃρῆσθαι, welche Inschrift auch sonst kein Iota hat. 2222, Z. 10 *HTHΣA* ᾔτησα. 2678 und 2334 b, Z. 47 *EΠHNHΣΘAI* ἐπῃνῆσθαι.

Conjunctiv. Dass die Verba barytona im Conjunctiv des Activs in der zweiten und dritten Person des Singular das Iota subscriptum haben, wird von den Grammatikern als bekannt vorausgesetzt und deshalb fast gar nicht bemerkt. Zon. Lex. 1008 ᾗς: ὅτε μὲν ὁριστικόν, οὐκ ἔχει τὸ ῑ, ὅτε δὲ ὑποτακτικόν, ἔχει αὐτὸ ἐὰν ὦ, ᾖς, ᾖ, καὶ ᾖσι κατ' ἐπένθεσιν τῆς σι συλλαβῆς. καὶ ἧς ἀντὶ τοῦ ὑπῆρχες. Nur über die Conjunctive der Verba auf μι haben sie sich näher ausgesprochen. Cram. A. O. IV, 394, 3 φησὶν ὁ τεχνικὸς ὅτι τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν εἰς μι ἐπὶ τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ δηλονότι (es ist vorher vom Conjunctiv die Rede) ἐπὶ μὲν τῆς πρώτης συζυγίας διὰ τοῦ η καὶ ῑ ἐκφέρεται, οἷον ἐὰν τιθῶ, ἐὰν τιθῇς, ἐὰν τιθῇ. ἐπὶ δὲ τῆς δευτέρας διὰ τῆς αι (? ᾳ)

διφθόγγου, προσγραφομένου τοῦ ῑ, μὴ συνεκφωνουμένου δέ, ἐὰν ἱστῶ, ἐὰν ἱστᾷς, ἐὰν ἱστᾷ. ἐπὶ δὲ τῆς τρίτης διὰ τοῦ ω μεγάλου, οἷον ἐὰν διδῶ, ἐὰν διδῷς, ἐὰν διδῷ. ὡς καὶ Εὐριπίδης (Orest 684) „δύναμιν ἣν διδῷ θεός.“ Cram. A. O. IV, 394, 23 δεῖ γινώσκειν ὅτι ἐπὶ τῶν ὑποτακτικῶν τοῦ δευτέρου ἀορίστου τῶν εἰς μι τὰ δεύτερα καὶ τρίτα πρόσωπα ἐπὶ μὲν τῆς πρώτης καὶ δευτέρας συζυγίας διὰ τοῦ η καὶ ῑ ἐκφέρεται, οἷον ἐὰν θῇς, ἐὰν θῇ, ἐὰν στῇς, ἐὰν στῇ. ἐπὶ δὲ τῆς τρίτης διὰ τῆς ωι διφθόγγου, ἐὰν δῷς, ἐὰν δῷ, ἐὰν γνῷς, ἐὰν γνῷ. „γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων“ (*A* 411). Cram. Ep. 105, 14 ἐὰν γνῶ ἐγώ, ἐὰν γνῷ ἐκεῖνος.... οὐκ ἔστιν ἐνταῦθα τρίτον πρόσωπον ὁμόφωνον, τὸ μὲν γὰρ τρίτον πρόσωπον προσγεγραμμένον ἔχει τὸ ῑ, τὸ πρῶτον οὔ. ἐπειδὴ τὰ εἰς ω λήγοντα ῥήματα πρώτου προσώπου ὄντα οὐ θέλουσιν ἔχειν ἐν τῇ τελευταίᾳ συλλαβῇ τὶ ἀνεκφώνητον. ἐν δὲ τῷ τρίτῳ προσώπῳ τὸ ῑ προσγράφεται.

Wenn diese Formen verlängert werden, bleibt ihnen das Iota. Et. Mg. 650, 7 παμφαίνῃσι, ἔχῃσι καὶ τὰ τοιαῦτα ἔχει τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν. Schol. A 129 δῷσι: Zoilos und Chrysippos halten diese Form für den Plural. ἀγνοοῦσι δέ. ἔστι γὰρ τὸ δῷ ἑνικὸν ἐκτεταμένον, ὡς τὸ λέγῃ λέγῃσι, φέρῃ φέρῃσι (cit. α 168 φῇσιν. θ 318 ἀποδῷσιν), διὸ καὶ τὸ ῑ ἔχει προσκείμενον. μέμνηται αὐτοῦ κἀν τῇ ὀρθογραφίᾳ Ἡρωδιανός. Nach Schol. E 746 schrieb Aristarch δάμνῃσι, Dionysios von Sidon δάμνησι. Et. Mg. 247, 11 „τῷ δάμνησι στίχας ἀνδρῶν“ (*E* 746; *Θ* 390; α 100) ὁ Σιδώνιος (Cod. σίδηρος) ἄνευ τοῦ ῑ, ὁ δὲ Ἀρίσταρχος σὺν τῷ ῑ, τὸ μὲν ἀπὸ τοῦ δάμνημι (*E* 893), τὸ δὲ ἀπὸ τοῦ δάμνω ὑποτακτικοῦ. Aristarch fasste somit δάμνῃσι an diesen drei Stellen als Conjunctiv auf: *Φ* 401 kann er deshalb doch δάμνησι geschrieben haben, wie wir es auch an den drei anderen Stellen thun, da zum Conjunctiv gar kein Grund vorhanden ist: der Venetus A hat überall δάμνηισι. Et. Mg. 431, 34 ἦσθα: ἔστιν ὁριστικὸν καὶ ῑ οὐ προσγράφουσιν. εἰ δέ ἐστιν ὑποτακτικὸν μετὰ τοῦ ῑ γράφεται ... καὶ τὸ ἦς ὅτε μέν ἐστιν ὁριστικὸν οὐ προσγράφεται τὸ ῑ, ὅτε δὲ ὑποτακτικόν, ἔχει καὶ τὸ ῑ, ἐὰν ὦ, ἐὰν ᾖς, ἐὰν ᾖ, καὶ κατ' ἐπένθεσιν τῆς σι συλλαβῆς γίνεται ᾖσι.

Bei Homer kommt noch eine andere Zerdehnung dieser Con-

junctivformen vor, worüber Spitzner im ersten Excurs zu *B* 34 (ἀνήῃ) gehandelt hat: was dieser darin über die Lesarten des Venetus A sagt, ist nicht ganz richtig. Der Venetus hat φανήιηι mit doppeltem Iota *T* 375 und *Υ* 64; στήιη *E* 598, wo aber der Codex von zweiter Hand geschrieben ist; δώιηι *Z* 527; *X* 257; *Ω* 529, sonst δώιη *H* 81, 292, 397; *Θ* 287; *I* 362; *Π* 88; *Ψ* 661; *Ω* 531, 581. Aristarch schrieb *X* 73 φανηη (das Scholion hat weder Accent noch Iota), *T* 27 σαπήῃ, *Z* 432 θήῃς. Auf φανείη *Ω* 417 ist nichts zu geben, da dort der Codex von zweiter Hand geschrieben ist. Et. Mg. 787, 26 φανήῃ: Ἀρίσταρχος καὶ οἱ ἀκριβεῖς γραμματικοὶ ὑποτακτικὸν αὐτὸ ἔχουσιν. ἔστι γὰρ ἡ μετοχὴ φανείς, φανέντος, ἐὰν φανῇ καὶ πλεονασμῷ τοῦ η φανήῃ. *Γ* 436 δαμασθῇς: dazu Didymos Ἀρίσταρχος δαμείῃς, es wird hier aber wohl zu bessern sein δαμήῃς, da alle übrigen Angaben darin übereinstimmen, dass Aristarch φήῃ, στήῃ, φανήῃ und die analogen Formen mit zwei η geschrieben habe. Nun finden sich aber einige Notizen, in denen von einem zweiten Iota die Rede ist, wie es auch der Venetus A einigemale hat. Choirob. im Et. Mg. 73, 43; Cram. A. O. II, 344, 33 ἀλώιη: δεῖ γινώσκειν ὅτι τὸ ἀλῴη ἔχει ἐν τῇ παραληγούσῃ τὸ ι. ἔστι γὰρ ἐὰν ἀλῷ (sic), ἐὰν ἀλῷς, ἐὰν ἀλῷ, καὶ κατὰ πλεονασμὸν τοῦ η γίνεται ἐὰν ἀλῴη. ἔχομεν γὰρ πολλὰ τοιαῦτα, οἷον ἐὰν στῷ (sic) ἐὰν στῇς, ἐὰν στῇ, καὶ ἐὰν στήῃ, οἷον „στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ" (*E* 598) καὶ πάλιν ἐὰν φῶ, ἐὰν φῇς, ἐὰν [φῇ καὶ ἐὰν] φήῃ, ὡς παρὰ ποιητῇ ἐν τῇ Ὀδυσσείᾳ (λ 128; ψ 275) „φήῃ ἀθηρηλοιγόν." δύναται δὲ τὸ ἐὰν (Cod. ἐν) ἀλῴη μὴ ἔχειν εἰς τὸ ῳ τὸ ι, ἀλλ' εἰς τὸ η, ἵνα εἴπωμεν αὐτὸ ἀπὸ τρισυλλάβου, οἷον ἀπὸ τοῦ ἐὰν ἀλώω, ἐὰν ἀλώῃς, ἐὰν ἀλώῃ. ἀλλ' ἐπειδὴ εἰσὶ πολλὰ ἐν τῇ παραληγούσῃ ἔχοντα τὸ ι καὶ ἀπὸ πλεονασμοῦ τὸ η, οἷον στήῃ, φήῃ, δείκνυται ὅτι καὶ τὸ ἀλῴη ἐν τῇ παραληγούσῃ ἔχει τὸ ι καὶ ἀπὸ πλεονασμοῦ ἐστι τὸ η. Cram. A. O. II, 427, 12 ἀλώιη (sic): πλεονασμός ἐστι τοῦ η, ὡς δῷ, δῷσι, πλεονασμῷ τοῦ η δῴησιν. Aehnlich wie im Et. Mg. sind auch die Angaben bei Suidas I, 242, 15; Zon. Lex. 138 unter ἀλῴη. Eustath. zu ε 394, p. 1545 τὸ δὲ φανείη τινὰ τῶν ἀντιγράφων ἐν δυσὶν ἦτα γράφουσιν ἵν' ᾖ φανῇ καὶ κατὰ πλεονασμὸν φανήη (ohne Iota). Et. Mg. 106, 52 ἀνήῃ: „εὖτ' ἂν σε μελίφρων ὕπνος ἀνήῃ" (*B* 34).

σημαίνει καταλίπῃ. ἔστιν ἀνῶ, ἀνῇ ὑποτακτικόν, πλεονασμῷ τοῦ η̄ ἀνήῃ. Dagegen Cram. Epim. 2, 4 ἀνήῃι: „εὖτ' ἄν σε μελίφρων ὕπνος ἀνήῃ." ῥῆμα ὑποτακτικὸν τῶν εἰς μι̅. ἀνῶ, ἀνῇς, ἀνῇ, καὶ πλεονασμῷ τοῦ η̄ ποιητικῶς. ὡς τὸ στῶ, στῇς, στήῃ. γίνεται ἀνήῃ. Cram. Ep. 430, 17 φανήῃι: „ὡς δ' ὅταν ἀσπάσιος γῆ νηχομένοισι φανήῃ" (ψ 233) ... ἐὰν φανῇ καὶ πλεονασμῷ τοῦ η̄. ὡς τὸ στῇ, στήῃ, φθῇ „φθήῃ ὀρεξάμενος" (Ψ 805). καὶ βῇ „ἐμβήῃ μάλα τούς γε φίλει" (Π 94) ... οὐκ ἐπὶ τρίτου δὲ μόνου προσώπου τοῦτο εὑρίσκεται „αἴ κέ μευ ἄντα στήῃς" (Ρ 30). „μὴ παῖδ' ὀρφανικὸν θήῃς" (Ζ 432). ἔστι δὲ καὶ ἄλλο ὑποτακτικὸν ἐὰν δῶ, δῷς, δῷ. εἶτα ἐγένετο „δώῃ καμμονίην" (Χ 257) προσελθόντος τοῦ η̄. καὶ ἐὰν ἁλῷ ἁλώῃ. ὅτι δὲ ὑποτακτικόν ἐστι τὸ δώῃ καὶ ἁλώῃ δῆλον. τοῖς ὑποτακτικοῖς προσέρχεται ἡ σι̅ συλλαβή „ἰχθὺς ὅς κε φάγῃσι" (Φ 127). „λαμπρὸν παμφαίνῃσιν" (Ε 6). γέγονεν οὖν δώῃσιν „αἴ κεν Ζεὺς δώῃσιν Ὀλύμπιος" (Μ 275). δῆλον ὅτι ὑποτακτικόν ἐστι. ζητεῖται δὲ περὶ τοῦ ἰῶτα πότερον κατὰ μέσην τὴν λέξιν ἢ ἐπὶ τέλους. Ganz unrichtig ist Cram. A. O. IV, 392, 27 ἀπὸ τοῦ δὸς (sic) δόντος γίνεται δοίην καὶ κατὰ ἔκτασιν τοῦ ο̄ δῴην προσγεγραμμένου τοῦ ι̅ „δῴη κῦδος ἀρέσθαι" (Π 88). Man sieht, dass die Byzantinischen Grammatiker nicht mehr wussten, ob das Iota in die Mitte oder ans Ende gehöre, ob στῄη oder στήῃ zu schreiben sei: dass es als Flexionszeichen unter das letzte η̄ gehört, ist unzweifelhaft. Im Venetus A herrscht ebenfalls diese Unentschiedenheit. Die Stellen bei Homer, wo diese Subjunctivformen vorkommen, sind Ζ 432; Π 96; κ 301, 341; ο 51; τ 403 θήῃς und θήῃ. λ 128; ψ 275 φήῃ. Ε 598 στήῃ. Ρ 30 στήῃς. Γ 436 δαμήῃς. Μ 403 hat der Venet. A δαμειηι, ebenso Χ 246, an letzterer Stelle ist es Conjunctiv und muss δαμήῃ geschrieben werden. Τ 375; Υ 64; Χ 73; Ω 417; ε 394; ψ 233 φανήῃ. Τ 27 σαπήῃ. Π 94 ἐμβήῃ. Π 861 φθήῃ, dagegen Ψ 805 φθῇσιν, so hat wenigstens der Venetus A und nach ihm die neuesten Ausgaben, in Cram. Epim. 430, 21 lautet die Stelle φθήῃ ὀρεξάμενος. δώῃ ausser den oben erwähnten Stellen noch μ 216; ξ 86; σ 87; υ 297; φ 338; χ 253. ἁλώῃ Ι 592; Ξ 81; Ρ 506 (hier hat der Venetus A ἁλώιῃ von zweiter Hand) und ξ 133 als Variante. Das im Venetus bei einigen Optativformen beigeschriebene Iota hat

keine Berechtigung, so z. B. *K* 368 *φθαίηι*. *Π* 568 *εἴηι*. *Υ* 121 *παρσταίηι*. *Μ* 403 *δαμείηι*. *Ω* 565 *τλαίηι*. *Π* 625 *δοίηις*. *Ψ* 487 *γνοίηις*. Ueber die Optativformen *δῴη*, *γνῴη*, *ἁλῴη*, *περιπατῴη* u. ähnl. vgl. Lobeck zu Phryn. S. 344 und 346.

Von allen diesen Conjunctivformen kommen in den Inschriften nur die gewöhnlichen vor, dabei steht meistens das Iota: so Nr. 70 b, Z. 2 *ΑΝΕΛΘΕΙ* *ἀνέλθῃ*. 76, Z. 7 *ΠΡΑΘΕΙ* *πραθῇ*. 93, Z. 12 u. 15 *ΕΞΕΛΘΕΙ*. 2155 *ΥΠΑΡΧΕΙ*. 2338, Z. 4 *ΣΥΝΤΕΛΕΙ* *συντελῇ*. 2353, Z. 15. 2483, Z. 14. 2484, Z. 14 *ΔΟΞΕΙ*. 2374, Z. 34 *ΑΞΙΩΣΕΙ*. 2953, Z. 2 *ΕΠΑΡΕΙ*. Z. 4 *ΑΠΟΚΡΥΨΕΙ*. 3044, Z. 37 *ΚΑΤΑΞΕΙ*. Z. 39 *ΠΟΙΗΣΕΙ*. 2266, Z. 12 *ΚΑΤΑΣΤΗΣΕΙ*, in derselben Inschrift aber Z. 6 *ΔΟΚΗΙ*. Z. 15 *ΣΥΝΤΕΛΕΣΘΗΙ*. *ΔΟΚΙΜΑΣΘΗΙ*. Z. 20 *ΕΠΑΝΓΕΙΛΗΙ*. 213, Z. 13. 2161, Z. 16 *ΝΙΚΗΣΗΙ*. 1570 a. 1845, Z. 114, 140, 143 *ΔΟΚΗΙ*. 1118, Z. 9. 2556, Z. 29 *ΕΧΗΙ*. 2161, Z. 13. 3059, Z. 7 *ΕΙΠΗΙ*. 1570 a *ΚΥΡΩΘΗΙ*. *ΣΥΝΤΕΛΕΣΘΗΙ*. *ΗΙ*. 1118, Z. 13 *ΠΑΡΕΧΗΙ*. 2161, Z. 13 *ΕΠΕΡΩΤΗΣΗΙ*. *ΕΠΙΨΗΦΙΣΗΙ*. 2265, Z. 16 *ΠΑΡΑΒΗΙ*. 2554, Z. 49 *ΕΛΘΗΙ*. Z. 84. 2555, Z. 8 *ΔΟΞΗΙ*. 2556, Z. 50 *ΑΔΙΚΗΣΗΙ*. *ΝΙΚΑΣΗΙ*. Z. 62 *ΤΕΘΗΙ*. 3059, Z. 7 *ΠΡΟΘΗΙ*. *ΕΠΙΨΗΦΙΣΗΙ*. 2569, Z. 13 *ΤΙΜΑΙ* *τιμᾷ*. 82, Z. 20 *ΔΙΔΩΙ*. 2693 e, Z. 15 *ΑΠΟΔΩΙ*. Ohne Iota kommen vor Nr. 126, Z. 33 *ΔΟΚΙΜΑΣΘΗ*. 355, Z. 19 *ΠΩΛΗΣΗ*. Z. 44 *ΦΩΡΑΘΗ*. 1755 *ΦΥΤΕΥΣΗ*, ferner 1844, Z. 16 *ΔΟΚΗ*. 2043, Z. 8 *ΤΟΛΜΗΣΗ*. 2060 *ΘΕΛΗ*. 2267, Z. 9 *ΠΑΡΑΚΑΛΗ*. 2271, Z. 13 *ΔΟΘΗ*. 2448, Z. VIII *ΑΠΟΔΕΙΧΘΗ*, *ΑΝΑΓΡΑΦΗ*, *ΕΥΡΕΘΗ*. 2525, Z. 39 *ΜΕΤΑΛΛΑΞΗ*. Z. 94 *ΑΔΙΚΗ*.

Optativ. Cram. A. O. II, 353 *δεῖ γινώσκειν ὅτι τὸ βιῴη ἔχει ἐν τῇ παραληγούσῃ τὸ ῖ. ἔστι δὲ εὐκτικὸν ὡς παρὰ Ἀριστοφάνει* (Ran. 177) „*ἀναβιῴειν* (sic) *νῦν πάλιν*.“ Erklärt wird die Form als von *βιοῖ* entstanden, mit Zusatz des *η̅* *βιοίη* und Verlängerung des *ο̅* in *ω̅* *βιῴη*. Ebendaselbst wird unrichtig *δῴη* als Optativ aufgefasst und ganz auf dieselbe Weise abgeleitet. Cram. Ep. 93, 25 *βιῴην ἔχει τὸ ἰῶτα. εὐκτικὴ γάρ ἐστι. βιούς, βιοῦντος, βιοῖμι, βιοῖς, βιοῖ, καὶ κατὰ πλεονασμὸν τοῦ η̅ βιοίην, ὡς περιπατοῖμι, περιπατοῖς, περιπατοῖ, καὶ κατὰ ἔκτασιν τοῦ ο̅ εἰς ω̅, περιπατῴη, καὶ δοίη, δῴη*: ähnlich Zon. Lex. 390. Cram. An. Ox. II, 150, 12 *τὰ κατὰ*

τρίτον πρόσωπον τῶν εὐκτικῶν Ἀττικῶς διὰ τοῦ ηυ ἐπεκτεινόμενα διφθόγγῳ παραλήγεται, οἷον ἀγαπῷμι, ἀγαπῷς, ἀγαπῷ, καὶ Ἀττικῶς ἀγαπῴην. Herod. zu Ψ 361 προπαροξυτονητέον τὸ μεμνέῳτο. γράφεται δὲ καὶ σὺν τῷ ι τὸ ω. οὕτω δὲ καὶ ὁ Ἀσκαλωνίτης ἐκ τοῦ μεμνέοιτο ἡγούμενος αὐτὸ εἶναι. παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ε ἐστὶν ὁ σχηματισμὸς καὶ προπερισπᾶται ἐν Κύρου παιδείας πρώτῳ (6, 3) „ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν θεὸν μεμνῷτο." τὸ δὲ ἀνάλογον διὰ τοῦ η προσκειμένου τοῦ ι παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ (992) „ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου." Schol. Par. Ψ 361 (Cram. A. P. III, 292, 22) μεμνέῳτο προπαροξυτόνως καὶ μετὰ τοῦ ι. Ξενοφῶν δὲ μεμνῷτο ἄνευ τοῦ ε. Κρατῖνος δὲ μέμνοιτο. τὸ δὲ ἀνάλογον διὰ τοῦ η προσκειμένου τοῦ ι (cit. Arist. Plut. 992). Πίνδαρος δὲ Δωρικώτερον διὰ τῆς αι διφθόγγου ἐν προσῳδίοις „μεμναίατ' ἀοιδῆς." Dasselbe Et. Mg. 578, 54, für Κρατῖνος steht jedoch dort Κράτης: vgl. auch Suidas III, 777 unter μεμνῇτο und Zon. Lex. 1352.

Zon. Lex. 1752 τρυγῷ καὶ τρυπῷ: Ὅμηρος (ι 384) „ὡς δ' ὅτε τις τρυπῷ δόρυ νήιον ἀνήρ." τὸ εὐκτικὸν τρυγάοιμι, τρυγῷμι, τρυγῷς (Cod. τρυγῶοι) τρυγῷ. „πῶς ἄν τις ὄμφακα τρυγῷ." οὕτως Ὧρος ὁ Μιλήσιος, vgl. Et. Mg. 771, 4. In der aus Homer angeführten Stelle liest man allgemein τρυπῷ, bei Drakon de Metr. 86, 26 steht τρυπᾷ.

Es bleibt noch eine Angabe übrig in Betreff der Participialform ᾄρας im Et. Mg. 38, 17 „ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν, ὡς εἶδον τὸν νέκυν ᾄραντας Ἀχαιούς" (P 723). δεῖ γινώσκειν ὅτι τὸ ι ἔχει προσγεγραμμένον κατὰ παράδοσιν. Dazu bemerkt Choiroboskos, dass es das Iota nicht haben darf, denn bei den Participien wird dasselbe ausgesprochen, z. B. ᾔτησα αἰτήσας, ᾔσχυνα αἰσχύνας, so auch ᾖρα αρας (?). ἀλλ' ἐπειδὴ φησὶν ὁ τεχνικός, ὅτι ἡ παράδοσις ἔχει τὸ ι, σχηματιστέον αὐτὸ οὕτως. ἀείρω, ἀερῶ, ἤειρα, ἀείρας, καὶ κράσει τοῦ α καὶ ε εἰς α μακρὸν ᾄρας, καὶ μένει τὸ ι μὴ ἐκφωνούμενον, vgl. auch Cram. Ep. 329, 33 ff. Also nicht als Participium, sondern als aus ἀείρας durch Contraction entstanden, hat es das beigeschriebene Iota.

Die Aoristformen der Verba liquida auf αιρω und αινω haben in vielen Ausgaben und Handschriften das Iota, so im Lau-

rentianus zu Apoll. *Λ* 611 *ἀπηνήναντο*, im Venetus A zu *H* 93, 185 und *Ψ* 204 *ἀνήνασθαι* und *ἀνήνατο*. *Ξ* 171; *Π* 228 *κάθηρεν*. *Ξ* 270 *χήρατο*. *Γ* 373; *E* 59; *Ξ* 510, 515 *ἥρατο* und *ἐνήρατο*. *K* 499 *ἤειρεν*. Da dieses Iota mit dem Verbalstamm nichts zu thun hat, sondern nur mit dem Präsensstamm, bei welchem es um ein Silbe zurückversetzt wird (*φαν-ιω*, *φαίνω*, *χαρ-ιω*, *χαίρω*, wie *χερ-ιων*, *χείρων*, *ἀμεν-ιων*, *ἀμείνων*), so ist die Schreibweise mit Iota im Aorist, der vom reinen Stamm gebildet wird, falsch. Unrichtig haben auch noch drei andere Verbalformen im Venetus A das Iota *ὀρῴρῃ* *I* 610. *κικλήσκετο* *K* 300. *ὁρᾶτο* *Φ* 390. Auch die Handschriften der Odyssee haben nicht selten in den Formen des Aorists der Verba liquida ein Iota subscriptum, vgl. Prolegomena zur Odyssee XXXVI—XXXVIII.

## E. Die Krasis.

Cram. A. O. IV, 343, 27 *τὰ τρία μὲν εἴδη τῆς συναλοιφῆς τὰ ἁπλᾶ ταῦτα. ἔκθλιψις, κρᾶσις, συναίρεσις.* Dann heisst es weiter, dass diese sowol einzeln als auch mit einander verbunden vorkommen, so:

1. *ἔκθλιψις* und *κρᾶσις*; *καὶ ἐγώ, κἀγώ. ἐκθλίβεται τὸ ῐ τοῦ καί συνδέσμου, καὶ κιρνᾶται τὸ ᾰ καὶ ε̄ εἰς ᾱ, δηλονότι μακρόν.*

2. *ἔκθλιψις* und *συναίρεσις*: *ἐμοὶ ὑποδύνει, ἐμοὐποδύνει. ἐκθλίβεται γὰρ τὸ ῐ τῆς οι̅ διφθόγγου, τῆς οὔσης ἐν τῇ ἐμοί ἀντωνυμίᾳ, καὶ συναιρεῖται τὸ ο̄ καὶ τὸ ῡ εἰς τὴν ου̅ δίφθογγον.*

3. *κρᾶσις* und *συναίρεσις*: *ὁ αἰπόλος, ᾡπόλος. κιρνᾶται γὰρ τὸ ο̄ καὶ ᾱ εἰς ω̄ καὶ συναιρεῖται τὸ ω̄ καὶ τὸ ῐ εἰς τὴν ᾠ̄ δίφθογγον.*

4. *ἔκθλιψις*, *κρᾶσις* und *συναίρεσις*: *οἱ αἰπόλοι, ᾡπόλοι. ἐκθλίβεται γὰρ τὸ ῐ τῆς [οι] διφθόγγου, καὶ κιρνᾶται τὸ ο̄ καὶ τὸ ᾱ εἰς ω̄, καὶ συναιρεῖται τὸ ω̄ καὶ τὸ ῐ εἰς τὴν ᾠ̄ δίφθογγον.* Dasselbe Bekk. An. 698, nur steht dort *ᾡπόλος* und *ᾡπόλοι* für *ᾠπόλος* und *ᾠπόλοι*.

Et. Mg. 757, 24 *τῇμῇ ἔχει τὸ ῐ κατὰ τὴν λήγουσαν, κατὰ δὲ τὴν ἀρχὴν οὔ, οἷον „ἀμφὶ δέ τοι τῇμῇ κλισίῃ“* (*I* 654). *ἔστι γὰρ τῇ ἐμῇ, καὶ ἐκθλίβεται τοῦ ἄρθρου τὸ ῐ καὶ κιρνᾶται τὸ η̄ καὶ ε̄ εἰς η̄. καὶ ἔστι χωρὶς τοῦ ῐ ὡς τὸ „δτε

*Μενοιτιάδη τὦμῷ κεχαρισμένε θυμῷ*" (*Λ* 608), *ἔστι γὰρ τῷ ἐμῷ καὶ ἐκθλίβεται τὸ ῑ τοῦ τῷ ἄρθρου καὶ κιρνᾶται τὸ ω̅ καὶ τὸ ε̅ εἰς τὸ ω̅, καὶ γίνεται τὦμῷ χωρὶς τοῦ ῑ*, ähnlich Zon. Lex. 1728. *I* 654 hat der Venetus A *τῆ 'μῆι*, *Λ* 608 *τῶ 'μῶ* beidemale ohne Iota, aber nicht zusammengeschrieben. *Σ* 458 haben *υἱεῖ ἐμ' ὠκυμόρῳ* ACEL; *δ* 71 *τῷ 'μῷ* IKMNQS. *τῷ μῷ* ABDEL. Auch Apollonios Dyskolos (de Synt. 126 und de Pron. 51) führt *τὦμῷ* und *τῆμῇ* als Beispiele für die Krasis an. Jetzt schreibt man *τῷ ἐμῷ τῇ ἐμῇ* und liest es mit Synizese wie auch *ὢ ἀρίγνωτε, δὴ ἔπειτα, καὶ ἐγώ*. Dagegen findet sich im Homer *τἄλλα, ὥριστος* und *ωὑτός, οὑμός*, sowie *προὔφαινε* und ähnliches, aber nicht *κἀκεῖνος* oder *ὦλλοι*, wie Zenodot schrieb.

Et. Mg. 551, 27 *κῷνος ἀντὶ τοῦ καὶ οἶνος κατὰ συναλοιφήν, ὃ μετὰ τοῦ ῑ γράφεται. Ἀριστοφάνης Βατράχοις* (511) „*κῷνον κεράννυ γλυκύτατον.*" *ἀντὶ τοῦ καὶ οἶνον. Ὧρος ὁ Μιλήσιος*. Et. Mg. 816, 34 *χῳ συμπόται, χῳ συγγενεῖς, ἀντὶ τοῦ καὶ οἱ ξυμπόται, καὶ οἱ συγγενεῖς. σὺν τῷ ῑ. οὕτω γὰρ λέγουσι, τὸ μὲν ῑ τοῦ συνδέσμου ἐκθλίβοντες καὶ ποιοῦντες κρᾶσιν τοῦ α̅ ο̅ εἰς τὸ ω̅. καὶ προσγράφουσι τὸ ῑ τῆς διφθόγγου τρέποντες ἀναγκαίως τὸ κ̅ εἰς χ̅, οἷον χῳ τυμπανισμοί. οὕτως εὗρον εἰς τὴν ὀρθογραφίαν Ὥρου τοῦ Μιλησίου*.

Die Regeln über die Krasis sind hier so genau gegeben, als man es nur wünschen kann: hat das erste Wort das Iota, einerlei ob untergeschrieben oder nicht, so wird es ausgestossen, hat das zweite das Iota, so bleibt es als *προσγεγραμμένον*. Auch der Spiritus richtet sich nach dem zweiten Wort und man schreibt *ᾡπόλος* nicht *ᾠπόλος*, so auch *ὦλλοι* (Schol. *B* 1. *K* 1) *ὥριστος, ωὑτός*. In den Inschriften finden sich folgende Beispiele Nr. 8 *ΚΑΓΟ κἀγώ. ΗΑΙΣΟΠΟΣ ὁ Αἴσωπος* (*ᾇσωπος* nicht *ᾧσωπος*). *ΗΑΔΕΛΦΟΙ οἱ ἀδελφοί*. 39 *ΤΩΠΟΛΛΩΝΙ*. 1845, Z. 55 *ΚΑΥΤΟΙ*. 2134 b, Z. 22 *ΚΑΠΟ*. 3333, Z. 3 *ΚΑΓΩ*. 2554, Z. 181 *ΚΑΡΤΕΜΙΝ καὶ Ἄρτεμιν*. 2953, Z. 4 *ΚΑΝ καὶ ἄν*. Eine Ausnahme macht die Kretische Inschrift Nr. 2554; dort finden wir Z. 119, 120, 126, 127 u. ö. *ΚΗΣ* für *καὶ ἐς*. Z. 135, 136, 167 *ΚΗΠΙ* für *καὶ ἐπί*. Ferner Nr. 11 *ΤΟΙΝΤΑΥΤ τῷ 'νταῦτ'* für *τὦνταῦτ'*.

## F. Wortbildung.

